PAI E5

# ΠΑΙΔΑΓΩΓΙΑ

Βενετιά 1894

3679

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

# ΠΑΙΔΑΓΩΓΙΑ

ΠΡΟΣ ΧΡΗΣΙΝ

## ΤΩΝ ΠΟΘΟΥΝΤΩΝ ΜΑΝΘΑΝΕΙΝ ΓΡΑΜΜΑΤΑ

ΜΕΤΑ ΝΕΠΡΟΣ ΘΗΚΗΣ

» Πραΰς, ταπεινὸς τοῖς Διδασκάλοις ἔσο.
» Ἐὰν ᾖς φιλομαθὴς, ἔσῃ καὶ πολυμαθής.
» Ὅςτις τοὺς τεκόντας ἐν βίῳ σέβει,
» Ὁ δ' ἐστὶ καὶ ζῶν καὶ θανὼν Θεῷ φίλος.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΡ. 592
ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΔΕΡΙΔΟΥ
ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΩΡ
ΞΕΝΟΦΩΝ Α. ΣΙΔΕΡΙΔΗΣ
ΕΝ ΚΩΝ/ΠΟΛΕΙ

ΒΕΝΕΤΙΑ
ΕΚ ΤΟΥ ΕΛΛΗΝ. ΤΥΠΟΓΡ. Ο ΦΟΙΝΙΞ
1894

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens




ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens





❋ ΑΒΓΔΕΖΗΘΙΚΛΜΝΞΟΠΡΣΤΥΦΧΨΩ.
❋ α β γ δ ε ζ η ϑ ι κ λ μ ν ξ ο π ρ σ τ υ φ χ ψ ω.
❋ ABCDEFGHIJKLMNOPQRSTUVXYZ.
❋ a b c d e f g h i j k l m n o p q r s t u v x y z.

α, ε, η, ι, ο, υ, ω,

αω, βψ, γχ, δφ, ευ, ζτ, ησ, ϑρ, ιπ, κο, λξ, μν,

## ΣΥΛΛΑΒΑΙ ΕΚ ΣΥΜΦΩΝΟΥ ΚΑΙ ΦΩΝΗΕΝΤΟΣ.

| | | | | | | |
|---|---|---|---|---|---|---|
| Βα | βε | βη | βι | βο | βυ | βω |
| Γα | γε | γη | γι | γο | γυ | γω |
| Δα | δε | δη | δι | δο | δυ | δω |
| Ζα | ζε | χη | ζι | ζο | ζυ | ζω |
| Θα | ϑε | ϑη | ϑι | ϑο | ϑυ | ϑω |
| Κα | κε | κη | κι | κο | κυ | κω |
| Λα | λε | λη | λι | λο | λυ | λω |
| Μα | με | μη | μι | μο | μυ | μω |
| Να | νε | νη | νι | νο | νυ | νω |
| Ξα | ξε | ξη | ξι | ξο | ξυ | ξω |
| Πα | πε | πη | πι | πο | πυ | πω |
| Ρα | ρε | ρη | ρι | ρο | ρυ | ρω |

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



| | | | | | | |
|---|---|---|---|---|---|---|
| Σα | σε | ση | σι | σο | συ | σω |
| Τα | τε | τη | τι | το | τυ | τω |
| Φα | φε | φη | φι | φο | φυ | φω |
| Χα | χε | χη | χι | χο | χυ | χω |
| Ψα | ψε | ψη | ψι | ψο | ψυ | ψω |

## ΕΚ ΣΥΜΦΩΝΟΥ ΚΑΙ ΔΙΦΘΟΓΓΟΥ.

| | | | | | |
|---|---|---|---|---|---|
| Βαι | βαυ | βει | βευ | βοι | βου |
| Γαι | γαυ | γει | γευ | γοι | γου |
| Δαι | δαυ | δει | δευ | δοι | δου |
| Ζαι | ζαυ | ζει | ζευ | ζοι | ζου |
| Θαι | θαυ | θει | θευ | θοι | θου |
| Και | καυ | κει | κευ | κοι | κου |
| Λαι | λαυ | λει | λευ | λοι | λου |
| Μαι | μαυ | μει | μευ | μοι | μου |
| Ναι | ναυ | νει | νευ | νοι | νου |
| Ξαι | ξαυ | ξει | ξευ | ξοι | ξ υ |
| Παι | παυ | πει | πευ | ποι | που |
| Ραι | ραυ | ρει | ρευ | ροι | ρου |
| Σαι | σαυ | σει | σευ | σοι | σου |
| Ται | ταυ | τει | τευ | τοι | του |
| Φαι | φαυ | φει | φευ | φοι | φου |
| Χαι | χαυ | χει | χευ | χοι | χου |
| Ψαι | ψαυ | ψει | ψευ | ψοι | ψου |

## ΣΥΛΛΑΒΑΙ ΜΙΚΤΑΙ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

| | | | | | | |
|---|---|---|---|---|---|---|
| αμ | αν | αρ | αλ | ας | αγ | απ |
| βλα | βρα | βδε | βιξ | βορ | βομ | βρου |

Ακαδημία Αθηνών / Academy of Athens

| | | | | | | |
|---|---|---|---|---|---|---|
| γλι | γλα | γρα | γρυ | γνα | γδου | γαρ |
| δρε | δρα | δρυς | δις | δους | δεν | δον |
| ερ | ελ | εμ | ζην | ζακ | θαμ | θαρ |
| καμ | κλι | κρι | κλοι | λαμ | λαψ | λαξ |
| μαγ | μαν | μαρ | μιγ | μυρ | μνα | μελ |
| ναρ | νερ | ξαν | ξερ | ομ | ορ | πραγ |
| πλε | ραμ | ρουθ | σαρ | στρα | σμυ | σαλ |
| τρω | τμη | τλη | τρε | φορ | φλα | φραχ |
| φλο | φλι | χαρ | χθα | χορ | χλο | χρι |
| ψαλ | ψαμ | ψις | ψαρ | ψιξ | ως | ωψ |

## ΟΝΟΜΑΤΑ ΚΑΙ ΣΗΜΕΙΑ ΤΩΝ ΠΡΟΣΩΔΙΩΝ.

Ὀξεῖα (´). Βαρεῖα (`). Περισπωμένη (῀). Δασεῖα (῾). Ψιλὴ (᾿). Ἀπόστροφος (’). Ὑφὲν ‿. Ὑποστιγμὴ (,). Μέση στιγμὴ (·). Τελεία στιγμὴ (.). Σημεῖον τῆς Διαιρέσεως (¨). Σημεῖον Ἑνώσεως (-). Ἐρωτηματικὸν (;). Θαυμαστικὸν (!). Παρένθεσις ( ).



Εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.

Βασιλεῦ Οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγὸς ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλίδος, καὶ σῶσον Ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Ἅγιος ὁ Θεὸς, Ἅγιος ἰσχυρὸς, Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. (Τρίς.)

Δόξα Πατρὶ, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΙΣ ΤΗΝ ΜΑΚΑΡΙΑΝ ΤΡΙΑΔΑ.

Παναγία Τριὰς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι, καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον.

## ΕΥΧΗ ΚΥΡΙΑΚΗ.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. Ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν. Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ἀμήν.

## ΑΣΠΑΣΜΟΣ ΤΟΥ ΑΓΓΕΛΟΥ

### ΠΡΟΣ ΤΗΝ ΑΓΙΩΤΑΤΗΝ ΠΑΡΘΕΝΟΝ.

Θεοτόκε Παρθένε, χαῖρε, Κεχαριτωμένη Μαρία· ὁ Κύριος μετὰ σοῦ. Εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου· ὅτι Σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν. Ἀμήν.

Ἡ ἐλπίς μου ὁ Πατὴρ, καταφυγή μου ὁ Υἱὸς, σκέπη μου τὸ Πνεῦμα τὸ Ἅγιον· Τριὰς Ἁγία, δόξα σοι.

Ακαδημία Αθηνών / Academy of Athens

# ΣΥΜΒΟΛΟΝ ΑΓΙΟΝ

### ΤΗΣ ΑΜΩΜΗΤΟΥ ΠΙΣΤΕΩΣ

## ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ ΧΡΙΣΤΙΑΝΩΝ.

Πιστεύω εἰς ἕνα Θεὸν, Πατέρα Παντοκράτορα, Ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων, καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. Φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρὶ, δἰ οὗ τὰ πάντα ἐγένετο. Τὸν δἰ ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου, καὶ Μαρίας τῆς Παρθένου, καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς Οὐρανοὺς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης, κρῖναι ζῶντας καὶ νεκροὺς οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ Κύριον, τὸ Ζωοποιὸν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον, καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν Προφητῶν. Εἰς Μίαν, Ἁγίαν, Καθολικὴν, καὶ Ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν Βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ Ἀνάστασιν νεκρῶν. Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Ακαδημία Αθηνών / Academy of Athens



Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν Χριστῷ τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

## Ο ΠΡΟΟΙΜΙΑΚΟΣ.

## ΨΑΛΜΟΣ ργ΄. 103.

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα. Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν· ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ. Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ· ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά. Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, ὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν. Ὁ ἐξαποςέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν. Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσεσι φωνήν. Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ· ἀπὸ

Ἀκαδημία Ἀθηνῶν / Academy of Athens

καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. Οἱ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας. Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν. Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς. Ἐποίησε Σελήνην εἰς καιρούς· ὁ Ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς. Ἀνέτειλεν ὁ Ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετὰ, ὧν οὐκ ἔστιν ἀριθμὸς, ζῶα μικρὰ μετὰ μεγάλων. Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ. Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. Δόντος σου αὐτοῖς, συλλέξουσιν· ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος. Ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται. Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ

ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτϐ. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται. Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. Ἡδυνθείη αὐτῷ ἡ διαλογή με, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ. Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον.

## ΥΜΝΟΣ

### ΣΩΦΡΟΝΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ, ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΦΩΣ.

Φῶς ἱλαρὸν ἁγίας δόξης, ἀθανάτου Πατρὸς, Οὐρανίου, Ἁγίου, Μάκαρος, Ἰησοῦ Χριστὲ, ἐλθόντες ἐπὶ τὴν Ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινὸν, ὑμνοῦμεν Πατέρα, Υἱὸν, καὶ Ἅγιον Πνεῦμα, Θεόν. Ἄξιόν σε ἐν πᾶσι καιροῖς ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς· διὸ ὁ κόσμος σὲ δοξάζει.

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν, καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σϐ. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός του εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει,

Ακαδημία Αθηνών / Academy of Athens

τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμα σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σȣ, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

## ΨΑΛΜΟΣ ν΄. 50.

Ἐλέησόν με, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διαπαντός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μȣ. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

λίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην, καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

## ΠΡΟΣΕΥΧΗ ΠΡΟ ΤΟΥ ΜΑΘΗΜΑΤΟΣ.

Κύριε ὁ Θεός μȣ, ὁδηγὲ τῆς ἀληθινῆς σοφίας καὶ φρονήσεως, φώτισόν με μὲ τὸ φῶς τῆς θεογνωσίας σου, διὰ νὰ δυνηθῶ εὐκόλως καὶ ἀνεμποδίστως νὰ ἐπιδώσω εἰς τὰ καλὰ μαθήματα, καὶ νὰ προκόψω, διὰ νὰ δοξάζω τὸ ἅγιόν σου ὄνομα εἰς ὅλην μȣ τὴν ζωὴν, καὶ νὰ ζῶ κατὰ τὸ θέλημα σȣ τȣ̃ Πατρὸς, καὶ τȣ̃ Υἱȣ̃, καὶ τȣ̃ ἁγίȣ Πνεύματος. Ἀμήν.

## ΠΡΟΣΕΥΧΗ ΠΡΟ ΤΗΣ ΒΡΩΣΕΩΣ.

Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, Κύριε· καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας.

## ΠΡΟΣΕΥΧΗ ΜΕΤΑ ΤΗΝ ΒΡΩΣΙΝ.

Εὐχαριστῶ σοι Χριστὲ ὁ Θεός μου, ὅτι ἐνέπλησάς με τῶν ἐπιγείων σου ἀγαθῶν· μὴ ὑστερήσῃς με καὶ τῆς ἐπουρανίου σου βασιλείας.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

# ΥΜΝΟΙ ΙΚΕΤΗΡΙΟΙ

## ΠΡΟΣ ΤΗΝ ΥΠΕΡΕΥΛΟΓΗΜΕΝΗΝ ΘΕΟΤΟΚΟΝ, ΚΑΙ ΑΕΙΠΑΡΘΕΝΟΝ

# ΜΑΡΙΑΝ

Χαίροις, Ἄνασσα, Μητροπάρθενον κλέος· Χαίροις, ἱλαστήριον ψυχῶν, Παρθενομῆτορ, χαρὰν ἡ κυήσασα, Χαῖρε, ἡ Βασίλισσα. Χαῖρε, ναὶ Χριστοῦ. Χαῖρε, ἡ πανύεμνος. Χαῖρε, προστασία ψυχῶν ἐμοῦ καὶ κραταίωμα. Ἅπαν γὰρ εὐδίνητον εὔλαλον στόμα, ῥητρεῦον οὐ σθένει σε μέλπειν ἀξίως· ἰλιγγιᾷ δὲ νοῦς ἅπας σου τὸν τόκον νοεῖν. Ὅθεν σε συμφώνως δοξάζομεν.

Χαῖρε, Δέσποινα, Μῆτερ ἐλέους, ζωὴ, γλυκύτης καὶ ἐλπὶς ἡμῶν, χαῖρε. Πρὸς σὲ βοῶμεν οἱ τῆς Εὔας ἐξόριστοι παῖδες. Πρὸς σὲ ἀτενίζομεν, στενάζοντες καὶ θρηνοῦντες ἐν τῇδε τῇ τοῦ κλαυθμῶνος κοιλάδι. Ἄγε ἰδὴ, Συνήγορε ἡμῶν, τοὺς εὐσπλάγχνους σου ὀφθαλμοὺς ἐφ' ἡμᾶς ἐπίστρεψον, καὶ Ἰησοῦν τὸν εὐλογημένον καρπὸν τῆς κοιλίας σου, μετὰ τὴν ὑπερορίαν ταύτην, ἡμῖν ἀνάδειξον. Ὦ ἐπιεικὴς, ὦ εὔσπλαγχνε, ὦ ἡδεῖα Παρθένε Μαρία! πρέσβευε ὑπὲρ ἡμῶν, Ἁγία Θεοτόκε, ὅπως καταξιωθῶμεν τῶν τοῦ Χριστοῦ ἐπαγγελιῶν. Ἀμήν.

Ακαδημία Αθηνών / Academy of Athens



# ΕΥΑΓΓΕΛΙΟΝ

## ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΜΕΓΑΛΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΠΑΣΧΑ.

## ΚΑΤΑ ΙΩΑΝΝΗΝ ά. 1.

Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν. Ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης. Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ. Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ. Οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν. Καὶ ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, (καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρός·) πλήρης χάριτος καὶ ἀληθείας. Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε, λέγων· Οὗτος ἦν, ὃν εἶπον· Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. Καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ, ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος. Ὅτι ὁ νόμος διὰ Μωσέως ἐδόθη· ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.

Ακαδημία Αθηνών / Academy of Athens

## ΑΙ ΔΕΚΑ ΤΟΥ ΘΕΟΥ ΕΝΤΟΛΑΙ

1. Ἐγώ εἰμι Κύριος ὁ Θεός σου, ὁ ἐξαγαγών σε ἐκ γῆς, Αἰγύπτου, ἐξ οἴκου δουλείας· οὐκ ἔσονταί σοι Θεοὶ ἕτεροι πρὸ προσώπου μου.

2. Οὐ ποιήσεις σεαυτῷ γλυπτὸν ȣ̓δὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς· οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσης αὐτοῖς· ὅτι ἐγώ εἰμι Κύριος ὁ Θεός σȣ, Θεὸς ζηλωτὴς, ἀποδιδοὺς ἁμαρτίαν πατέρων ἐπὶ τέκνα, ἐπὶ τρίτην, καὶ τετάρτην γενεὰν τοῖς μισοῦσί με, καὶ ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσί με, καὶ τοῖς φυλάσσουσι τὰ προστάγματά μȣ.

3. Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ. Οὐ γὰρ μὴ καθαρίσῃ Κύριος ὁ Θεός σου τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ.

4. Φυλάσσαι τὴν ἡμέραν τῶν Σαββάτων ἁγιάζειν αὐτὴν, ὃν τρόπον ἐνετείλατό σοι Κύριος ὁ Θεός σου· ἓξ ἡμέρας ἐργᾷ, καὶ ποιήσεις πάντα τὰ ἔργα σȣ, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ, Σάββατα Κυρίῳ τῷ Θεῷ σου· οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργιον σὺ, καὶ ὁ υἱός σου καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου καὶ ἡ παιδίσκη σȣ, ὁ βοῦς σου καὶ τὸ ὑποζύγιόν σου, καὶ πᾶν κτῆνός σου, καὶ ὁ προσήλυτος ὁ ἐντὸς τῶν πυλῶν σου, ἵνα ἀναπαύσηται ὁ παῖς σου, καὶ ἡ παιδίσκη σου, καὶ τὸ ὑποζύγιόν σου, ὥσπερ καὶ σύ· καὶ μνησθήσῃ ὅτι οἰκέτης ἦσθα ἐν γῇ Αἰγύπτȣ, καὶ ἐξήγαγέ σε Κύριος ὁ Θεός σȣ ἐκεῖθεν ἐν χειρὶ κραταιᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ. Διὰ τοῦτο συνέταξέ σοι Κύριος ὁ Θεός σου, ὥστε φυλάσσεσθαι τὴν ἡμέραν τῶν Σαββάτων, καὶ ἁγιάζειν αὐτήν.

5. Τίμα τὸν Πατέρα σȣ, καὶ τὴν Μητέρα σȣ, ὃν τρόπον ἐνετείλατό σοι Κύριος ὁ Θεός σου, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ Θεός σȣ δίδωσί σοι.

6. Οὐ φονεύσεις.

7. Οὐ μοιχεύσεις.

8. Οὐ κλέψεις.

9. Οὐ ψευδομαρτυρήσεις κατὰ τȣ̃ πλησίον σȣ μαρτυρίαν ψευδῆ.

10. Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου· οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σȣ, οὔτε τὸν ἀγρὸν αὐτοῦ, οὔτε τὸν παῖδα αὐτȣ̃, οὔτε τὴν παιδίσκην αὐτοῦ, ȣ̓́τε τȣ̃ βοὸς αὐτοῦ, οὔτε τοῦ ὑποζυγίου, οὔτε παντὸς κτήνους αὐτοῦ, οὔτε πάντα ὅσα τῷ πλησίον σου ἐστί.

Ακαδημία Αθηνών / Academy of Athens



# ΟΝΟΜΑΣΙΑ ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΓΡΑΜΜΑΤΙΚΩΝ

## NOMENCLATURA DELLE LETTERE GRECHE.

| | | | | | |
|---|---|---|---|---|---|
| α<br>alfa<br>a | β<br>vita<br>v | γ<br>gamma<br>g | δ<br>delta<br>d | ε<br>epsilòn<br>e | ζ<br>zita<br>z |
| η<br>ita<br>i | ϑ<br>thita<br>th | ι<br>iota<br>i | ϰ<br>cappa<br>c | λ<br>lambda<br>l | μ<br>mi<br>m |
| ν<br>ni<br>n | ξ<br>xi<br>x | ο<br>omicròn<br>o | π<br>pi<br>p | ρ<br>ro<br>r | σ<br>sigma<br>s |
| τ<br>taf<br>t | υ<br>ipsilòn<br>y | φ<br>fi<br>f | χ<br>chi<br>ch | ψ<br>psi<br>ps | ω<br>omega<br>o |

Δίφθογγοι αι, αυ, ει, ευ, οι, ου.
Dittonghi e, av, i, ev, i, u.

## SPIEGAZIONE DEI NESSI.

| | | | | | | | |
|---|---|---|---|---|---|---|---|
| ϖ | ην | ȣ | ου | τ͂ | τῶν | ἐς͂ὶ | ἐστὶ |
| ϑ | υν | ϛ | στ | μ̀ | μὲν | κ͂ | κατὰ |
| ϰ | σπ | ϖ | σσ | γ͂ | γὰρ | μ͂ | μετὰ |
| ɯ | σθ | χρ | χρ | δ͂ | διὰ | ἀπὸ | ἀπὸ |
| ω | σχ | ϗ | καὶ | γ̀ | γὲν | ὑπὸ | ὑπὸ |

## ΑΡΙΘΜΟΙ. NUMERI.

| | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|
| Α΄. | α΄. | 1 | ΙΑ΄. | ια΄. | 11 | Λ΄. | λ΄. | 30 | Υ΄. | υ΄. | 400 |
| Β΄. | β΄. | 2 | ΙΒ΄. | ιβ΄. | 12 | Μ΄. | μ΄. | 40 | Φ΄. | φ΄. | 500 |
| Γ΄. | γ΄. | 3 | ΙΓ΄. | ιγ΄. | 13 | Ν΄. | ν΄. | 50 | Χ΄. | χ΄. | 600 |
| Δ΄. | δ΄. | 4 | ΙΔ΄. | ιδ΄. | 14 | Ξ΄. | ξ΄. | 60 | Ψ΄. | ψ΄. | 700 |
| Ε΄. | ε΄. | 5 | ΙΕ΄. | ιε΄. | 15 | Ο΄. | ο΄. | 70 | Ω΄. | ω΄. | 800 |
| Ϛ΄. | ϛ΄. | 6 | ΙϚ΄. | ιϛ΄. | 16 | Π΄. | π΄. | 80 | Π΄. | π΄. | 900 |
| Ζ΄. | ζ΄. | 7 | ΙΖ΄. | ιζ΄. | 17 | Ϟ΄. | ϟ΄. | 90 | ͵Α΄. | ͵α΄. | 1000 |
| Η΄. | η΄. | 8 | ΙΗ΄. | ιη΄. | 18 | Ρ΄. | ρ΄. | 100 | ͵Β΄. | ͵β΄. | 2000 |
| Θ΄. | ϑ΄. | 9 | ΙΘ΄. | ιϑ΄. | 19 | Σ΄. | σ΄. | 200 | ͵Γ΄. | ͵γ΄. | 3000 |
| Ι΄. | ι΄. | 10 | Κ΄. | ϰ΄. | 20 | Τ΄. | τ΄. | 300 | ͵Δ΄. | ͵δ΄. | 4000 |

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000020450